| | |
|---|---|
| ΠΑΙΔΑΓΩΓΟΣ | *Ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς* |
| | *εἰ τοῦ τυράννου δώματ᾽ Αἰγίσθου τάδε;* |
| ΧΟΡΟΣ | *τάδ᾽ ἐστίν, ὦ ξέν᾽· αὐτὸς ᾔκασας καλῶς.* |
| ΠΑΙΔΑΓΩΓΟΣ | *ἦ καὶ δάμαρτα τήνδ᾽ ἐπεικάζων κυρῶ* |
| | *κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.* |
| ΧΟΡΟΣ | *μάλιστα πάντων· ἥδε σοι κείνη πάρα.* |
| | |
| ΠΑΙΔΑΓΩΓΟΣ | *ὦ χαῖρ᾽, ἄνασσα· σοὶ φέρων ἥκω λόγους* |
| | *ἡδεῖς φίλου παρ᾽ ἀνδρὸς Αἰγίσθῳ θ᾽ ὁμοῦ.* |
| ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ | *ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου* |
| | *πρώτιστα χρῄζω τίς σ᾽ ἀπέστειλεν βροτῶν.* |
| ΠΑΙΔΑΓΩΓΟΣ | *Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέγα.* |
| ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ | *τὸ ποῖον, ὦ ξέν᾽; εἰπέ· παρὰ φίλου γὰρ ὢν* |
| | *ἀνδρός, σάφ᾽ οἶδα, προσφιλεῖς λέξεις λόγους.* |
| | |
| ΠΑΙΔΑΓΩΓΟΣ | *Τέθνηκ᾽ Ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.* |
| ΗΛΕΚΤΡΑ | *οἲ ᾿γὼ τάλαιν᾽, ὄλωλα τῇδ᾽ ἐν ἡμέρᾳ.* |
| | |
| ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ | *Τί φής, τί φής, ὦ ξεῖνε; μὴ ταύτης κλύε.* |
| ΠΑΙΔΑΓΩΓΟΣ | *θανόντ᾽ Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.* |
| ΗΛΕΚΤΡΑ | *ἀπωλόμην δύστηνος, οὐδέν εἰμ᾽ ἔτι.* |
| ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ | *σὺ μὲν τὰ σαυτῆς πρᾶσσ᾽, ἐμοὶ δὲ σύ, ξένε,* |
| | *τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;* |
| | |
| ΠΑΙΔΑΓΩΓΟΣ | *κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.* |
| | *κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος* |
| | *πρόσχημ᾽ ἀγῶνος Δελφικῶν ἄθλων χάριν,* |
| | *ὅτ᾽ ᾔσθετ᾽ ἀνδρὸς ὀρθίων κηρυγμάτων* |
| | *δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,* |
| | *εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας.* |

© www.anadiplosis.de / 09.11.2012